ας γινόμενα τε καὶ πραττόμενα καὶ λεγόμενα κατὰ
περαθήκην καὶ ὑφαίσμὸν οὐ μέτρια ἐστὶν ἀμφισβητήματα.
ὁ οὖν Ξάνθος μηδὲ μίαν ἀφορμὴν εὑρηκὼς μαστιγῶ-
σαι τὸν Αἴσωπον, ἡσύχασε. Τῇ δὲ ἑξῆς ἡμέρᾳ τὸ ἀ-
κροατήριον τῶν παίδων ἐγένετο πρὸς τὸν Ξάνθον. Εἷς δὲ
τῶν σχολαστικῶν δεῖπνον μέγα κατασκευάσας, ἐκάλεσε
τὸν Ξάνθον, σὺν τοῖς λοιποῖς σχολαστικοῖς. ὁ οὖν Ξάνθος
λαβὼν ἐν τῷ δείπνῳ μέρη πολλά, ἐπέδωκε τῷ Αἰσώ-
πῳ, καὶ φησί, ἀπελθών, ἐπίδος αὐτὰ τῇ εὐνοούσῃ.
ὁ δὲ κατερχόμενος ἔλεγε καθ' ἑαυτόν, νῦν καιρὸς
ἀμύνασθαί μου τὴν κυρίαν, ἀνθ' ὧν νεώνητον ὄντα
με ἔσκωπτε. ὄψεται τοίνυν τίς τῷ κυρίῳ μου εὐνο-
εῖ. ἐλθὼν οὖν εἰς τὴν οἰκίαν ἐκάθισε, καὶ προσκαλεσά-
μενος αὐτοῦ ἔθηκε τὴν σπυρίδα ἔμπροσθεν αὐτῆς, καὶ
φησί, κυρία μου, μὴ τέτρωκται ἐξ αὐτῶν τι. Ἡ δὲ φησί,